κοινὸν εἶναι τῇ ψυχῇ καὶ τῷ σώματι εἰ μὴ τῷ τοῦ φαντάσματος λόγῳ. Λείπεται τοίνυν τὴν νοερὰν ἕξιν ἀρχοειδῶς, ἀλλ' οὐ κατὰ τὸ φάντασμα, τοῦ νοῦ εἶναι, καὶ τὸν νοῦν ὑποκείμενον εἶναι τῶν νοερῶν ἕξεων.

5. Πέμπτον, ὅτι καὶ ἐν τῇ θελήσει εἰσὶν ἕξεις, ποιότητες δηλαδὴ κινοῦσαι αὐτὴν πρὸς τὸ ἴδιον ἀντικείμενον διὰ τὸ μὴ ἀρκεῖν τὴν τῆς δυνάμεως φύσιν πρὸς πλείω καὶ διάφορα πεφυκυῖαν ἤτοι τι ὡρισμένον φέρεσθαι.

6. Ἕκτον, ὅτι καὶ ἐν τοῖς ἀγγέλοις εἰσὶν ἕξεις, εἰ καὶ ὁ Μάξιμος ὁ παραφράζων τὸν Διονύσιον οὐ βούλεται τοῦτο, μηδ' ὁ Σιμπλίκιος λέγων ἐν κατηγορίαις, ὅτι ἡ μὲν ἐν τῇ ψυχῇ σοφία ἐστὶν ἕξις· ἡ δὲ ἐν τῷ νῷ, οὐσία. Ἐοίκασι δὲ οὕτως ὑπολαβεῖν διὰ τὸ τοὺς ἀγγέλους ἀΰλους ὄντας μὴ ἔχειν τὸ δυνάμει, τὸ δὲ τῆς ἕξεως ὑποκείμενον τὸ δυνάμει ὂν εἶναι μόνον. Ἀλλ' εἰ καὶ μὴ ἔχουσιν ὕλης δύναμιν, ἔχουσι μέντοι τινά· ἡ γὰρ
f. 115v εἰλικρινὴς ἐντελέχεια, Θεοῦ μόνου. Ἡ γοῦν δυνάμει εἰσί, ταύτῃ | δύνανται καὶ ἕξεις ἔχειν. Ἀλλ' ἐπεὶ ἡ τῆς ὕλης δύναμις καὶ ἡ τῆς νοερᾶς οὐσίας οὐχ ἑνός εἰσι λόγου, διὰ τοῦτο οὐδ' ὁ τῆς ἕξεως λόγος κοινός ἐστιν καὶ ὅμοιος ἐν ἑκατέρᾳ.

Ἔτι, περὶ τὴν ἕξιν ταύτην ἄλλως ὁ ἀγγελικὸς νοῦς ἔχει, καὶ ὁ ἀνθρώπινος ἄλλως. Ὁ μὲν γὰρ ἀνθρώπινος νοῦς, ἔσχατος ὢν ἐν τῇ τάξει τῶν νῶν, δυνάμει ἐστὶ πρὸς πάντα τὰ νοητά, ὡς ἡ πρώτη ὕλη πρὸς τὰ αἰσθητὰ πάντα, καὶ διὰ τοῦτο πρὸς πάντα τὰ νοηθησόμενα δεῖται καὶ ἕξεως· ὁ δὲ ἀγγελικὸς νοῦς οὐκ ἔχει ὥσπερ ψιλὴ δύναμις ἐν τῷ γένει τῶν νοητῶν, ἀλλ' ὥσπερ τις ἐντελέχεια, οὐ μὴν εἰλικρινής, καὶ τοσοῦτον ἧττον τοῦ δυνάμει μετέχει, ὅσῳ καὶ ὑψηλότερός ἐστι. Καθὸ μὲν οὖν ἐστι δυνάμει, δεῖται τελειωθῆναι καθ' ἕξιν διά τινων εἰδῶν νοερῶν πρὸς τὴν ἰδίαν ἐνέργειαν· καθὸ δέ ἐστιν ἐντελέχεια, δύναταί τινα κατὰ τὴν ἑαυτοῦ οὐσίαν νοεῖν, τοὐλάχιστον ἑαυτόν, καὶ τ' ἄλλα κατὰ τὸν τρόπον τῆς ἑαυτοῦ οὐσίας, καὶ τοσοῦτο τελειότερον, ὅσῳ καὶ αὐτὸς τελειότερός ἐστιν. Ἀλλ' ἐπεὶ οὐδεὶς τῶν ἀγγέλων πρὸς τὴν θείαν τελειότητα ἀφικνεῖται, ἧς ἐπ' ἄπειρον διέστηκεν, διὰ τοῦτο πρὸς τὸ τοῦ Θεοῦ ἐφικέσθαι διὰ νοῦ καὶ θελήσεως, δέονταί τινων ἕξεων, ὥσπερ ἀεὶ δυνάμει ὄντες πρὸς ἐκείνην τὴν εἰλικρινῆ ἐντελέχειαν.

## LI. — Περὶ τοῦ αἰτίου τῆς γενέσεως τῶν ἕξεων.

1. Περὶ ὃ πρῶτον δείκνυται, ὅτι εἰσί τινες ἕξεις παρὰ τῆς φύσεως. Δεῖ γὰρ εἰδέναι, ὅτι διχῶς δυνατὸν εἶναί τι τινὶ φυσικόν· ἢ κατὰ τὴν φύσιν τοῦ εἴδους, ἢ κατὰ τὴν φύσιν τοῦ ἀτόμου· καὶ πάλιν καθ' ἑκατέραν διχῶς· ἢ ὡς ὅλον παρὰ τῆς φύσεως, ἢ ὡς κατά τι μὲν παρὰ τῆς φύσεως ὄν, κατά τι δὲ ἀπό τινος ἔξωθεν ἀρχῆς, ὡς ἐπὶ τῆς ὑγείας ἔχει καὶ κατ' ἄμφω. Εἰ μὲν οὖν διαλεγοίμεθα περὶ τῆς ἕξεως καθό ἐστι διάθεσις τοῦ ὑποκειμένου ἐν τῇ πρὸς τὸ εἶδος ἢ τὴν φύσιν τάξει, καθ' ἑκάτερον

Ε.Υ. τ.Φ.Κ.Π ΙΩΑΝΝΙΝΑ 2006

τῶν τρόπων ἐνδέχεται φυσικὴν εἶναι τὴν ἕξιν· ἔστι γάρ τις διάθεσις φυσικὴ ὀφειλομένη τῷ ἀνθρωπίνῳ | εἴδει, ἧς χωρὶς οὐδεὶς εὑρίσκεται· f. 116 καὶ αὕτη ἐστὶ φυσικὴ κατὰ τὴν φύσιν τοῦ εἴδους. Ἡ τοιαύτη δὲ διάθεσις, πλάτος ἔχουσα ἐν διαφόροις ἀνθρώποις, κατὰ διαφόρους βαθμοὺς εὑρίσκεται, ὅσον κατὰ τὴν τοῦ ἀτόμου φύσιν, καὶ ἡ τοιαύτη διάθεσις ἢ παντάπασι παρὰ τῆς φύσεως δύναται εἶναι, ἢ πῇ μὲν ἐκ τῆς φύσεως, πῇ δὲ ἔκ τινος ἀρχῆς, ἔξωθεν, ὡς προείρηται ἐπὶ τῶν διὰ τέχνης ὑγιαζομένων. Ἡ δὲ ἕξις, ἥτις ἐστὶ διάθεσις πρὸς ἐνέργειαν, ἧς ὑποκείμενον ἡ δύναμίς ἐστι τῆς ψυχῆς, ὡς προείρηται, δύναται μὲν εἶναι φυσικὴ καὶ κατὰ τὴν φύσιν τοῦ εἴδους καὶ κατὰ τὴν τοῦ ἀτόμου· κατὰ μὲν τὴν φύσιν τοῦ εἴδους, καθό ἐστι περὶ τῆς ψυχῆς, ἥ, τοῦ σώματος εἶδος οὖσα, εἰδοποιός ἐστιν ἀρχή· κατὰ δὲ τὴν τοῦ ἀτόμου, καθό ἐστι παρὰ τοῦ σώματος, ὅ ἐστιν ὑλικὴ ἀρχή. Ἀλλ' ὅμως κατ' οὐδέτερον τούτων τῶν τρόπων ἐνδέχεται φυσικῶς εἶναι ἐν τοῖς ἀνθρώποις ἕξεις οὕτως, ὥστε παντάπασι παρὰ τῆς φύσεως εἶναι, εἰ καὶ ἐν τοῖς ἀγγέλοις εἰσὶ τοιαῦται διὰ τὸ τὰ νοερὰ εἴδη φύσει ἐγκείμενα ἔχειν.

Εἰσὶν οὖν ἐν τοῖς ἀνθρώποις ἕξεις φυσικαὶ οὕτως, ὡς ἐν μέρει μὲν παρὰ τῆς φύσεως, ἐν μέρει δὲ παρά τινος ἔξωθεν ἀρχῆς, ἀλλὰ ἄλλως μὲν ἐν ταῖς ἀντιληπτικαῖς, ἄλλως δὲ ἐν ταῖς ὀρεκτικαῖς δυνάμεσιν. Ἐν μὲν γὰρ ταῖς ἀντιληπτικαῖς δυνατὸν εἶναί τινας φυσικὰς ἕξεις καὶ κατὰ τὴν ἔναρξιν, καὶ κατὰ τὴν τοῦ εἴδους φύσιν, καὶ κατὰ τὴν τοῦ ἀτόμου· κατὰ μὲν τὴν τοῦ εἴδους δι' αὐτὴν τὴν ψυχήν, ὥσπερ ὁ νοῦς τῶν ἀρχῶν φυσικὴ ἕξις λέγεται εἶναι· ἐξ αὐτῆς γὰρ τῆς φύσεως τῆς νοερᾶς ψυχῆς προσήκει τῷ ἀνθρώπῳ τὸ παρευθὺς γνωσθέντος τί ἐστιν ὅλον, καὶ τί ἐστι μέρος γινώσκειν, καὶ ὅτι πᾶν ὅλον μεῖζόν ἐστι τοῦ ἰδίου μέρους· τὸ δ' ὅμοιόν ἐστι καὶ ἐπὶ τῶν ἄλλων· τί δέ ἐστι τὸ ὅλον, καὶ τί τὸ μέρος γινώσκειν οὐ δύναται εἰ μὴ διὰ τῶν νοερῶν εἰδῶν τῶν ἀπὸ τῶν φαντασμάτων ληφθέντων· καὶ διὰ τοῦτο φησὶν ὁ Φιλόσοφος πρὸς τῷ τέλει τῶν ὑστέρων ἀναλυτικῶν, ὅτι ἡ τῶν | ἀρχῶν γνῶσις ἐκ τῶν αἰσθήσεων ἡμῖν f. 116v πρόεισιν. Κατὰ δὲ τὴν τοῦ ἀτόμου φύσιν ἔστι τις γνωστικὴ κατὰ τὴν ἔναρξιν φυσική, καθόσον εἷς ἄνθρωπος διὰ τὴν φυσικὴν τῶν ὀργάνων διάθεσιν ἐπιτηδειότερός ἐστιν ἑτέρου πρὸς τὸ καλῶς νοεῖν διὰ τὸ ἐν ταῖς τοῦ νοῦ ἐνεργείαις τῶν αἰσθητικῶν δυνάμεων δεῖσθαι. Ἐν δὲ ταῖς ὀρεκτικαῖς δυνάμεσι οὐκ ἔστι τις ὄρεξις φυσικὴ κατὰ ἔναρξιν ἐν αὐτῇ τῇ ψυχῇ, ὅσον πρὸς αὐτὴν τὴν οὐσίαν τῆς ἕξεως, ἀλλ' ὅσον πρός τινας ταύτης ἀρχάς, ὥσπερ αἱ ἀρχαὶ τοῦ κοινοῦ δικαίου λέγονται εἶναι τῶν ἀρετῶν σπέρματα, καὶ τοῦτο διὰ τοῦτο· ἡ γὰρ πρὸς τὰ ἴδια ἀντικείμενα ῥοπή, ἡ τῆς ἕξεως ἔναρξις εἶναι δοκεῖ, οὐκ ἔστι τῆς ἕξεως, ἀλλὰ μᾶλλον αὐτοῦ τοῦ λόγου τῶν δυνάμεων. Κατὰ δὲ τὸ σῶμα τῇ τοῦ ἀτόμου φύσει εἰσί τινες ἕξεις ὀρεκτικαὶ κατά τινας φυσικὰς ἐνάρξεις. Εἰσὶ γάρ τινες, ἐκ τῆς

Ε. Γ. Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ἰδίας τοῦ σώματος κράσεως πρὸς σωφροσύνην, ἢ πρᾳότητα, ἤ τι διακείμενοι τοιοῦτον.

2. Δεύτερον, ὅτι αἱ ἕξεις ἐκ τῶν ἐνεργειῶν εἰσι, τοῦ Φιλοσόφου ἐν δευτέρῳ τῶν ἠθικῶν οὕτω λέγοντος.

3. Τρίτον, ὅτι ἡ ἕξις οὐ γίνεται ἐκ μιᾶς ἐνεργείας, ἀλλ' ἀπὸ πλειόνων. Δεῖ μέντοι γε διορίζειν· ἡ γὰρ ἕξις διὰ τῆς ἐνεργείας γεννᾶται, καθόσον ἡ παθητικὴ δύναμις κινεῖται ὑπό τινος ἀρχῆς δραστικῆς· πρὸς δὲ τὸ γίνεσθαί τινα ποιότητα ἐν τῷ παθητικῷ, ἀνάγκη τὸ ποιητικὸν παντελῶς νικᾶν τὸ παθητικόν· ὅθεν ὁρῶμεν, διὰ τὸ μὴ δύνασθαι τὸ πῦρ αὐτίκα νικῆσαι τὸ ἴδιον καυστόν, οὐκ εὐθὺς ἐξάπτειν αὐτό, ἀλλὰ κατὰ μικρὸν μεταβάλλει τὰς ἐναντίας διαθέσεις, ἵν' οὕτω παντελῶς νικῆσαν τὴν οἰκείαν ὁμοιότητα ἐκείνῳ ἐνθείη. Φανερὸν δὲ ὡς οὐκ ἀεὶ ἡ δραστικὴ ἀρχή, τουτέστιν ὁ λόγος, παντελῶς δύναται μιᾷ ἐνεργείᾳ τὴν ὀρεκτικὴν κινῆσαι δύναμιν διὰ τὸ ταύτην διαφόρως πρὸς πολλὰ πεφυκέναι· κρίνεται δέ τι διὰ τοῦ λόγου ἐν μιᾷ ἐνεργείᾳ, οὗ δεῖ ἐπιθυμῆσαι κατά τινας ὡρισμένους
f. 117 λόγους καὶ περιστάσεις. Ὅθεν κατὰ τοῦτο οὐ | παντάπασιν ἡ παθητικὴ δύναμις νικᾶται, ὥστε φέρεσθαι ἐπὶ τὸ ἓν ὥσπερ καὶ ἐπὶ τὰ πλείω κατὰ τὸν τῆς φύσεως τρόπον, ὅπερ ἐστὶ τῆς καθ' ἕξιν ἀρετῆς· καὶ διὰ τοῦτο ἡ τῆς ἀρετῆς ἕξις οὐ δύναται διὰ μιᾶς ἐνεργείας γενέσθαι, ἀλλὰ διὰ πολλῶν.

Ἐν δὲ ταῖς ἀντιληπτικαῖς δυνάμεσι δεῖ θεωρεῖν, ὅτι διπλοῦς ἐστι τὸ παθητικόν· ἓν μέν, αὐτὸς ὁ δυνάμει νοῦς, ἓν δέ, νοῦς ὃν Ἀριστοτέλης παθητικὸν καλεῖ νοῦν, ὅς ἐστι μερικὸς λόγος, τουτέστι γνωστικὴ δύναμις μετὰ γνώμης καὶ φαντασίας. Τῇ μὲν οὖν πρὸς τὸ πρῶτον παθητικὸν παραθέσει δυνατὸν εἶναί τι δραστικόν, ὃ διὰ μιᾶς ἐνεργείας νικᾷ παντελῶς τὴν δύναμιν τοῦ ἰδίου παθητικοῦ, ὥσπερ μία πρότασις καθ' ἑαυτὴν γνώριμος νικᾷ τὸν νοῦν πρὸς τὸ συγκαταθέσθαι βεβαίως τῷ συμπεράσματι. Τοῦτο δὲ οὐ ποιεῖ ἡ ἔνδοξος πρότασις· ὅθεν ἐκ πολλῶν ἐνεργειῶν τοῦ λόγου ἀνάγκη γενέσθαι δοξαστικὴν ἕξιν κατὰ τὸν δυνάμει νοῦν. Τὴν δὲ τῆς ἐπιστήμης ἕξιν δυνατὸν γενέσθαι καὶ διὰ μιᾶς ἐνεργείας τοῦ λόγου, ὅσον πρὸς τὸν δυνάμει νοῦν· ὅσον δὲ πρὸς τὰς ταπεινοτέρας ἀντιληπτικὰς δυνάμεις, ἀνάγκη μιᾶς καὶ τῆς αὐτῆς ἐνεργείας πολλάκις ἅπτεσθαι ὥστε τι βεβαίως ἐναπομεῖναι τῇ μνήμῃ. Ὅθεν καὶ ὁ Φιλόσοφος ἐν τῷ περὶ μνήμης καὶ ἀναμνήσεως εἰκοστῷ φησὶν ὅτι ἡ μελέτη βεβαιοῖ τὴν μνήμην. Τὰς δέ γε σωματικὰς ἕξεις δυνατόν ἐστι καὶ ἀπὸ μιᾶς ἐνεργείας γεννᾶσθαι, εἰ τὸ ποιητικὸν μεγάλης εἴη δυνάμεως, ὥσπερ πολλάκις φάρμακον ἰσχυρὸν αὐτίκα τὴν ὑγείαν ἐντίθησιν.

4. Τέταρτον, ὅτι ἐγγίνονται τοῖς ἀνθρώποις παρὰ Θεοῦ τινες ἕξεις· ἐν γὰρ δεκάτῳ πέμπτῳ τοῦ Ἐκκλησιαστοῦ λέγεται· „Ἐνέπλησεν αὐτὸν

---

38 Eccli. 15, 5

Ε.Υ.Δ της Κτ.ΙΙ ΙΩΑΝΝΙΝΑ 2006

ὁ Θεὸς πνεύματος σοφίας καὶ συνέσεως". Δίδονται δὲ τῷ ἀνθρώπῳ ἕξεις θεόθεν διπλῶς· ἕνα μὲν τρόπον διατιθεῖσαι αὐτὸν πρὸς τὴν μακαριότητα, ἃς ἀδύνατον ἔχειν τὸν ἄνθρωπον, ὑπερφυεῖς οὔσας κατὰ τὴν ἀναλογίαν τοῦ τέλους, | ἄνευ τῆς θείας ἐπιρροίας· καὶ αὗταί εἰσιν αἱ ἀπὸ τῆς χάριτος f. 117v ἀρεταί· ἕτερον δὲ τρόπον φυσικαὶ μέν, πλὴν ἄνευ τῶν δευτέρων αἰτίων, πρὸς ἔνδειξιν τῆς θείας δυνάμεως, ὥστε τὸ γινόμενον ἐν ἀνθρώπῳ φυσικὸν μὲν εἶναι καὶ οἷον ἂν καὶ ἡ φύσις ποιήσειεν, ἀλλ' οὐ κατὰ τὸν τῆς φύσεως τρόπον, ὡς ἐπὶ τῶν διὰ θαύματος αἴφνης ὑγιαζομένων, ἢ ὡς ἐν τοῖς ἀποστόλοις ἡ τοῦ λόγου χάρις καὶ ἡ τῶν γλωσσῶν εἴδησις, ἃ δυνατόν ἐστι καὶ σπουδῇ καὶ ἕξει ἀνθρωπίνῃ πορίσασθαι, εἰ καὶ μὴ οὕτω τελείως.

Εἰ δὲ καὶ πρὸς πάντας ὁ Θεὸς ἐπίσης ἔχει κατὰ τὴν ἑαυτοῦ φύσιν, ἀλλὰ κατὰ τὴν τάξιν τῆς σοφίας αὐτοῦ ὡρισμένῳ τινὶ λόγῳ δίδωσι τισὶν ἅπερ ἄλλοις οὐ δίδωσιν.

Τό τε ἐν πᾶσι τὸν Θεὸν ἐνεργεῖν κατὰ τὴν ἑαυτῶν φύσιν οὐκ ἀναιρεῖ τὸ τὸν Θεὸν ποιεῖν τινά, ἅπερ ἡ φύσις οὐ δύναται ποιεῖν, ἀλλ' ἕπεται μόνον τὸ μηδὲν ποιεῖν ἐναντίον τῷ τῇ φύσει προσήκοντι· τῆς γὰρ θείας ἐστὶ προνοίας σῴζειν τὴν φύσιν, ὁ Φιλόσοφος καὶ ὁ Διονύσιος λέγουσιν.

## LII. — Περὶ τῆς αὐξήσεως τῶν ἕξεων.

1. Περὶ ὃ πρῶτον δείκνυται, ὅτι αὔξουσιν αἱ ἕξεις· λέγεται γὰρ εἰπεῖν τοὺς μαθητὰς πρὸς τὸν Κύριον· „Κύριε, πρόσθες ἡμῖν πίστιν". Εἰ δὲ ἡ αὔξησις περὶ τὴν ποσότητα, καὶ αἱ ἕξεις ποιότητες, ἀλλ' ὥσπερ τὸ τῆς ποσότητος ὄνομα ἀπὸ τῶν σωματικῶν ποσοτήτων ἐπὶ τὰς νοητὰς τῶν εἰδῶν τελειότητας μετενήνεκται, οὕτω δὴ καὶ τὸ τῆς αὐξήσεως, οὗτινος ὅρος ἐστὶ τὸ μέγα. Ὁμοίως καὶ εἰ τελειότης ἐστὶν ἡ ἕξις, ἀλλ' οὐδὲν κωλύει τὸ μᾶλλον καὶ ἧττον αὐτὴν δέχεσθαι· οὐδὲ γὰρ ὅρος τοῦ ἰδίου ὑποκειμένου ἐστίν, ὡς ἂν διδοῦσα αὐτῷ τὸ εἰδοποιὸν εἶναι, οὔτε ἐν τῷ ἑαυτῆς λόγῳ ὅρον περιλαμβάνει, ὥσπερ τὰ τῶν ἀριθμῶν εἴδη.

2. Δεύτερον, ὅτι ἡ τῶν ἕξεων αὔξησις οὐ γίνεται προσθήκῃ τινί. Καὶ γὰρ καὶ ἐν τοῖς σωματικοῖς οὐ γίνεται ἐξ ἀνάγκης ἡ αὔξησις προσθήκῃ ὑποκειμένου πρὸς ὑποκείμενον, ὡς ἐπὶ τῶν ζώντων σωμάτων, ἀλλὰ καὶ κατὰ ἐπίτασιν ἄνευ προσθήκης, ὡς ἐν τοῖς θερμαινομένοις, οὐδενὸς γενομένου ἐν τῇ ὕλῃ θερμοῦ, ἐν τετάρτῳ τῶν φυσικῶν λέγεται.

3. Τρίτον, ὅτι οὐχ ἑκάστη τῶν ἐνεργειῶν αὔξει τὴν ἕξιν, ὡς οὐδὲ f. 118 πᾶσα τροφὴ τὸ ζῷον, οὐδ' ἑκάστη σταγὼν κοιλαίνει τὸν λίθον, ἀλλὰ τῶν ἐνεργειῶν πολλαπλασιαζομένων καὶ ἡ ἕξις αὔξει, ὡς ἐν τοῖς παραδείγμασιν.

---

21 Luc. 17, 5

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

## LIII. — Περὶ τῆς φθορᾶς τῶν ἕξεων· περὶ τῆς μειώσεως καὶ φθορᾶς αὐτῶν.

1-2. Περὶ τοῦτο πρῶτον δείκνυται, ὅτι ἡ ἕξις δύναται καὶ μειοῦσθαι καὶ φθείρεσθαι· τὰ ἐναντία γὰρ περὶ τὸ αὐτὸ πεφύκασι γίνεσθαι· αὔξησις δὲ καὶ μείωσις ἐναντία· καὶ ὡσαύτως μειοῦνται ὡς αὔξουσιν· καὶ ὡς ἐκ τῆς αὐτῆς αἰτίας αὔξονται, ἑξῆς καὶ γεννῶνται, οὕτω καὶ ἐκ τῆς αὐτῆς αἰτίας μειοῦνται, ἑξῆς καὶ φθείρονται. Μειοῦται δὲ ἡ ἕξις οὐ καθαυτὴν θεωρουμένη· ἁπλοῦν γάρ τι εἶδός ἐστιν· ἀλλὰ κατὰ τὸν διάφορον τοῦ μετέχειν τρόπον, ὃς πρόεισιν ἐκ τοῦ ἀόριστον εἶναι τὴν δύναμιν τοῦ μετέχοντος· ἡ διαφόρως δύναται ἑνὸς εἴδους μετέχειν καὶ πρὸς πλείω ἢ ἐλάττω ἐκτείνεσθαι.

3. Δεύτερον, ὅτι αἱ ἕξεις τῇ τῆς ἐνεργείας ἀποστάσει μειοῦνται ἢ φθείρονται, ὡς φησιν ὁ Φιλόσοφος ἐν τῷ περὶ μακροβιότητος, ὅτι φθορὰ ἐπιστήμης οὐκ ἀπάτη μόνον, ἀλλὰ καὶ λήθη· καὶ ταύτης ὁ χρόνος αἴτιος, ὡς ἐν τετάρτῳ τῶν φυσικῶν λέγεται, οὐ μεταβάλλων τῷ δρόμῳ τὸ νοερὸν τῆς ψυχῆς· καθ' αὑτὸν γὰρ ὑπὲρ χρόνον· ἀλλὰ τῇ τοῦ αἰσθητικοῦ μεταβολῇ, ὅσον πρὸς τὰ πάθη τοῦ ὀρεκτικοῦ, καὶ τὰς ἀντιληπτικὰς δυνάμεις ἀνενεργήτους ποιῶν ἐν τῷ νοερῷ.

## LIV. — Περὶ τῆς διακρίσεως αὐτῶν.

1. Περὶ τοῦτο πρῶτον δείκνυται, ὅτι ἐν μιᾷ δυνάμει πλείους εἰσὶν ἕξεις· ἐν γὰρ ἑνὶ τῷ νῷ διαφόρων ἐπιστημῶν ἕξεις.

2. Δεύτερον, ὅτι αἱ ἕξεις διακρίνονται κατὰ τὰ ἀντικείμενα· αἱ γὰρ ἐνέργειαι διαφέρουσιν εἴδει κατὰ τὴν διαφορὰν τῶν ἀντικειμένων· αἱ δὲ ἕξεις διαθέσεις τινές εἰσι πρὸς ἐνέργειαν· καὶ αἱ ἕξεις ἄρα διακρίνονται κατὰ τὰ διάφορα ἀντικείμενα. Εἰ δὲ καὶ τὰ ἐναντία διαφέρουσιν εἴδει ἐν τῇ τῶν πραγμάτων διαφορᾷ, τουτέστιν ὑλικῶς, εἰδικῶς μέντοι γε ἕν
f. 118v εἰσιν, ὅτι ὁ λόγος τοῦ γινώσκειν ἑκάτερα εἷς ἐστιν· θάτερον γὰρ | διὰ θατέρου γινώσκεται, καὶ διὰ τοῦτο, καθόσον συμβαίνουσιν ἐν ἑνὶ εἴδει καὶ λόγῳ τοῦ γνωστοῦ, καὶ εἰς μίαν ἕξιν γνωστικὴν ἀνήκουσιν.

3. Τρίτον, ὅτι αἱ ἕξεις διακρίνονται κατὰ τὸ ἀγαθὸν καὶ τὸ κακόν· ἀρετὴ γὰρ καὶ κακία εἴδει διακρίνονται, ὅτι ἐναντία εἰσίν· ἀρετὴ δέ ἐστιν ἀγαθὴ ἕξις, ὥσπερ αὖ πονηρὰ ἕξις ἡ κακία. Εἰ δὲ καὶ τῶν ἐναντίων δυνατὸν εἶναι μίαν ἕξιν, ὡς εἴρηται, ἀλλ' αἱ ἐναντίαι ἕξεις ἑνὸς εἴδους εἶναι οὐ δύνανται· ἡ γὰρ τῶν ἕξεων ἐναντιότης κατὰ τοὺς ἐναντίους λόγους ἐστίν, καὶ οὕτως κατὰ τὸ ἀγαθὸν καὶ κακὸν διακρίνονται, καθόσον μία ἐστὶν ἀγαθὴ ἕξις, καὶ ἄλλη κακή, οὐ καθόσον ἡ μὲν ἀγαθοῦ, ἡ δὲ κακοῦ.

4. Τέταρτον, ὅτι οὐ συνίσταται μία ἕξις ἐκ πολλῶν ἕξεων· ἡ γὰρ ἕξις ποιότης οὖσα, εἶδος ἁπλοῦν ἐστίν.

Ε.Υ.Δ της Κ.Π.Ι ΙΩΑΝΝΙΝΑ 2006

LV. — Περὶ τῆς ἀγαθῆς ἕξεως ἤτοι τῆς ἀρετῆς καθ' αὑτήν.

1. Περὶ ὃ πρῶτον δείκνυται, ὅτι ἡ ἀνθρωπίνη ἀρετὴ ἕξις ἐστίν· ὁ γὰρ Φιλόσοφος ἐν ταῖς κατηγορίαις τίθησι τήν τε ἐπιστήμην καὶ τὴν ἀρετὴν ἕξιν.

2. Δεύτερον, ὅτι ἐκ τοῦ λόγου τῆς ἀρετῆς ἐστι τὸ εἶναι πρακτικὴν ἕξιν, οὕτως ὁριζομένου τοῦ Φιλοσόφου ἐν δευτέρῳ τῶν ἠθικῶν· „Ἀρετή ἐστιν ἡ τὸ ἑκάστου ἔργον ἀγαθὸν ἀποδιδοῦσα“. Ἄλλως τε ἡ ἀρετὴ τελειότης ἐστὶ δυνάμεως, ἢ τῆς πρὸς τὸ εἶναι, ἢ τῆς πρὸς τὸ ποιεῖν· ὧν ἡ μὲν πρὸς τὸ εἶναι τῇ ὕλῃ προσήκει, ἥ ἐστι δυνάμει ὄν· ἡ δὲ πρὸς τὸ ποιεῖν, τῷ εἴδει, ὅ ἐστιν ἀρχὴ τοῦ ποιεῖν· ἕκαστον γάρ, ᾗ ἐντελεχείᾳ ἐστί, ποιεῖ. Ἐν δὲ τῷ ἀνθρώπῳ τὸ μὲν σῶμα ὡς ὕλη, ἡ δὲ ψυχὴ ὡς εἶδος. Κατὰ μὲν οὖν τὸ σῶμα καὶ τὰς κοινὰς σώματι καὶ ψυχῇ δυνάμεις, ὁ ἄνθρωπος κοινωνεῖ τοῖς ἄλλοις ζῴοις· μόνου δὲ τοῦ ἀνθρώπου εἰσὶν αἱ καὶ τῆς ψυχῆς ἴδιαι εἰσίν. Ὅθεν ἡ ἀνθρωπίνη ἀρετή, περὶ ἧς νῦν ὁ λόγος, οὐ δύναται τοῦ σώματος εἶναι· ὅθεν οὐδὲ τάξιν σημαίνει πρὸς τὸ εἶναι, ἀλλὰ μᾶλλον πρὸς τὸ ποιεῖν, καὶ διὰ τοῦτο ἐκ τοῦ ὁρισμοῦ τῆς ἀρετῆς ἐστι τὸ εἶναι πρακτικὴν ἕξιν.

4. Τρίτον, ὅτι ὁ Αὐγουστίνῳ ἀποδεδομένος τῆς ἀρετῆς ὁρισμὸς ἄριστα ἀποδέδοται, ὅτι ποιότης ἐστὶν ἀγαθὴ διανοίας, | ᾗ ζῶμεν ὀρθῶς, καὶ ᾗ f. 119
οὐδεὶς κακῶς χρῆται, ἣν ὁ Θεὸς ἐν ἡμῖν ἄνευ ἡμῶν ἐνεργεῖ.

Ἐνστάσεις πρὸς τοῦτον δύο· ἡ ἀρετή ἐστιν ἀγαθότης τοῦ ἀνθρώπου· αὕτη γάρ ἐστιν ἡ ἀγαθὸν ποιοῦσα τὸν ἔχοντα· ἡ δὲ ἀγαθότης οὐ λέγεται ἀγαθή, ὥσπερ οὐδὲ ἡ λευκότης λευκή. Ἔτι, ὁ αὐτὸς Αὐγουστῖνος φησὶν ἐν τῷ κατὰ Ἰωάννην· „Ὁ δημιουργήσας σε ἄνευ σοῦ οὐ δικαιώσει σε ἄνευ σοῦ“.

Πρὸς τὸ πρῶτον συγχωρῶ τὴν ἀγαθότητα εἶναι ἀγαθήν, εἰ καὶ μὴ ἡ λευκότης λευκή· τὸ γὰρ πρότερον ὑποπίπτον τῷ νῷ τὸ ὄν ἐστιν· τούτῳ δὲ ἀντιστρέφει τὸ ἓν καὶ τὸ ἀγαθόν· ὅθεν παντὶ τῷ ὑφ' ἡμῶν νοουμένῳ ἀποδίδονται ταῦτα, καὶ ὅπερ ἄν τις (τὸ ἐν Τριάδι Αὐγουστῖνος) νοήσειεν, ἀποδίδωσι καὶ τὰ λοιπὰ αὐτῷ· ὅθεν φαμὲν τὸ ὂν ἓν εἶναι καὶ ἀγαθόν, καὶ τὴν οὐσίαν εἶναι ὂν καὶ μίαν καὶ ἀγαθήν, ὁμοίως καὶ τὴν ἀγαθότητα. Τοῦτο δὲ οὐκ ἂν ἔχοι χώραν ἐπὶ τῶν εἰδικῶν εἰδῶν· οὐ γὰρ πᾶν ὃ νοοῦμεν, κατὰ τὸν τοῦ λευκοῦ ἢ ὑγιοῦς λόγον νοοῦμεν, καὶ διὰ τοῦτο οὐκ ἀκολουθεῖ τὸ ἐπιχείρημα. Ἀλλ' ἀκριβέστερον δυνάμεθα λέγειν, ὅτι ὡς τὰ συμβεβηκότα καὶ τὰ μὴ ὑφεστῶτα εἴδη λέγονται ὄντα, οὐχ ὅτι αὐτὰ ἔχουσιν εἶναι, ἀλλ' ὅτι αὐτοῖς ἔστι τι, οὕτω λέγονται καὶ ἀγαθὰ ἢ ἓν οὐ τινὶ ἀγαθότητι καὶ ἑνότητι, ἀλλ' ὅτι τούτοις ἔστι τι ἀγαθὸν ἢ ἕν. Οὕτω τοίνυν καὶ ἡ ἀρετὴ ἀγαθή, ὅτι ταύτῃ τί ἐστιν ἀγαθόν.

Πρὸς τὸ δεύτερον· ἡ ἔνθεος ἀρετὴ αἴτιον ἔχει ἐν ἡμῖν τὸν Θεὸν ἄνευ ἡμῶν ἐνεργούντων, οὐ μὴν ἄνευ ἡμῶν συγκατατιθεμένων. Τῶν δὲ δι' ἡμῶν

ΙΩΑΝΝΙΝΑ 2006

γινομένων ὁ Θεὸς αἴτιός ἐστιν οὐκ ἄνευ ἡμῶν ἐνεργούντων· αὐτὸς γάρ ἐστιν ὁ ἐνεργῶν ἐν πάσῃ θελήσει καὶ φύσει.

## LVI. — Περὶ τοῦ ταύτης ὑποκειμένου.

1. Περὶ τοῦτο πρῶτον δείκνυται, ὅτι ἡ ἀρετὴ ἐν δυνάμει τῆς ψυχῆς ἐστιν ὡς ἐν ὑποκειμένῳ ἐκ τριῶν· πρῶτον, ἐκ τοῦ λόγου τῆς ἀρετῆς, ὅς σημαίνει τελειότητα τῆς δυνάμεως· ἡ δὲ τελειότης ἐν τῷ οὗ ἐστι τελειότης· δεύτερον, ἐκ τοῦ πρακτικὴν εἶναι, ὡς δέδεικται· πᾶσαν δὲ πρᾶξιν ἐκ τῆς
f. 119v ψυχῆς εἶναι διά τινος δυνάμεως· τρίτον, ἐκ τοῦ διατιθέναι | πρὸς τὸ ἄριστον· ἄριστον δέ ἐστι τὸ τέλος, ὃ ἡ ἐνέργειά ἐστιν, ἤ τι ἑπόμενον τῇ ἐνεργείᾳ ἐκ δυνάμεως προϊούσῃ.

2. Δεύτερον, ὅτι μία ἀρετὴ οὐκ ἔστιν ἐν δυσὶν δυνάμεσιν· οὐδὲ γὰρ συμβεβηκὸς ἓν ἀριθμῷ ἐν πλείοσιν ὑποκειμένοις.

Ἔτι, ἡ τῶν δυνάμεων διαφορὰ κατὰ τὰ καθόλου ἰδιώματα τῶν ἀντικειμένων νοεῖται· ἡ δὲ τῶν ἕξεων κατὰ τὰ εἰδικά· ὅθεν ὅπου ἂν ᾖ δυνάμεων διαφορά, ἐκεῖ ἐστι καὶ ἕξεων, ἀλλ' οὐ τὸ ἀνάπαλιν. Ἐπίσης μὲν οὖν ἐν ἑκατέρᾳ τῇ δυνάμει μίαν ἕξιν εἶναι ἀδύνατον· τάξει δέ τινι καὶ οὐκ ἐπίσης, δυνατόν, ἤτοι ἐν τῇ μιᾷ ἀρχοειδῶς, ἐν δὲ ταῖς ἄλλαις ἐκεῖθεν κατά τινα διάδοσιν ἢ διάθεσιν, καθόσον μία δύναμις κινεῖται ὑπ' ἄλλης, ἢ λαμβάνει παρὰ τῆς ἄλλης.

3. Τρίτον, ὅτι ὁ νοῦς ὑποκείμενον ἀρετῆς· ἡ γὰρ διάνοια μάλιστα λέγεται νοῦς· ἡ δὲ ἀρετὴ ἐν τῇ διανοίᾳ ὡς ἐν ὑποκειμένῳ εἴληπται ἐν τῷ προαποδεδομένῳ ὁρισμῷ.

4. Τέταρτον, ὅτι τὸ θυμικὸν καὶ τὸ ἐπιθυμητικόν, ὑποκείμενον ἀρετῆς· τὴν γὰρ ἀνδρίαν ἐν τῷ θυμικῷ, καὶ τὴν σωφροσύνην ἐν τῷ ἐπιθυμητικῷ τίθησιν ὁ Φιλόσοφος. Οὐ καθαυτὸ μέντοι γε προσήκει αὐτοῖς ὑποκειμένοις ἀρετῆς εἶναι, οἷον καθὸ εἰσι μέρη τῆς αἰσθητικῆς ὀρέξεως· ἀλλὰ καθόσον μετέχουσι τοῦ νοῦ ὡς πεφυκότα ὑπείκειν αὐτῷ. Καὶ ἔστιν ἡ ἐν αὐτοῖς τοῖς μορίοις ἀρετὴ οὐδὲν ἕτερον ἢ ἡ καθ' ἕξιν ὁμοιότης τῶν δυνάμεων τούτων πρὸς τὸν λόγον.

5. Πέμπτον, ὅτι ἐν ταῖς ἔνδον ἀντιλήψεσιν αἰσθητικαῖς οὐδεμία ἀρετή ἐστιν· αἱ ἀρεταὶ γὰρ πᾶσαι ἢ νοεραί εἰσιν, ἢ ἠθικαί, κατὰ τὸν Φιλόσοφον· ὧν αἳ μὲν ἐν τῷ νοερῷ μέρει, αἳ δὲ ἐν τῷ ὀρεκτικῷ.

6. Ἕκτον, ὅτι ἡ θέλησις ὑποκείμενόν ἐστι τῆς ἀρετῆς· αὕτη γὰρ κινεῖ τὸ ἐπιθυμητικὸν καὶ τὸ θυμικόν, καὶ μείζων τελειότης ζητεῖται ἐν τῷ κινοῦντι ἢ ἐν τῷ κινουμένῳ.

## LVII. — Περὶ τῆς τῶν ἀρετῶν λογικῶν διακρίσεως.

1. Περὶ τοῦτο πρῶτον δείκνυται, ὅτι αἱ νοεραὶ καὶ θεωρητικαὶ ἕξεις ἀρεταί εἰσιν, θεωρητικαὶ οὖσαι τῶν ἀναγκαίων καὶ ἅπερ ἄλλως ἔχειν

ΙΩΑΝΝΙΝΑ 2006

ἀδύνατον, τοῦ Φιλοσόφου οὕτω τιθέντος ἐν ἕκτῳ | τῶν ἠθικῶν. Εἰ δὲ ἡ f. 120 ἀρετὴ ἕξις ἐστὶ πρακτική, ὡς εἴρηται, οὐδὲν κωλύει· τὸ γὰρ πρακτικὸν τὸ ἀντιδιαιρούμενον τῷ θεωρητικῷ ἀπὸ τοῦ ἔξωθεν ἔργου λαμβάνεται· ἡ δὲ θεωρητικὴ ἔχει τάξιν οὐ πρὸς αὐτό, ἀλλὰ πρὸς τὸ ἔνδον ἔργον τοῦ νοῦ, ὅ ἐστι θεωρεῖν τἀληθές· καὶ οὕτως ἐστὶν καὶ πρακτικὴ ἕξις καὶ ἀρετή.

2. Δεύτερον, ὅτι τρεῖς εἰσιν αἱ θεωρητικαὶ νοεραὶ ἐπιστῆμαι· σοφία, ἐπιστήμη καὶ νοῦς, οὕτω τοῦ Φιλοσόφου λέγοντος ἐν ἕκτῳ τῶν ἠθικῶν, καὶ εὐλόγως· αἱ μὲν γὰρ θεωρητικαὶ ἀρεταὶ τὸ ἀληθὲς σκοποῦσιν, ᾧ τελειοῦται ὁ νοῦς· τοῦτο δὲ διχῶς θεωρεῖται· ἢ ὡς καθ' αὑτὸ γνώριμον καὶ ὥσπερ ἑαυτοῦ ὂν ἀρχή, καὶ οὕτως ἐστὶν ἡ ἕξις ἐκείνη ἥτις καλεῖται νοῦς, ὅς ἐστιν ἕξις τῶν ἀρχῶν· ἢ δι' ἄλλου, ὅπερ οὐκ αὐτίκα, ὡς τὸ πρότερον, ἀλλὰ τῇ τοῦ λόγου ζητήσει καταλαμβάνεται, καὶ διὰ τοῦτο ὅρου λόγον ἔχει, καὶ ἔσχατον καταλαμβάνεται, ἢ γοῦν ὡς ἔσχατον ἔν τινι γένει, καὶ οὕτως ἡ ἐπιστήμη τελειοῖ τὸν νοῦν, καὶ κατὰ τὰ διάφορα τῶν ἐπιστητῶν γένη διάφοροι γίνονται καὶ αἱ τῶν ἐπιστημῶν ἕξεις· ἢ ὡς ἔσχατον πρὸς ὅλην τὴν ἀνθρωπίνην γνῶσιν· τοῦτο δέ ἐστι τὸ πρῶτον καὶ μάλιστα γνωστὸν κατὰ φύσιν, καὶ περὶ τοῦτό ἐστιν ἡ σοφία, ἡ θεωροῦσα τὰς ἀνωτάτας αἰτίας· ὅθεν οἰκείως κρίνει καὶ τάττει πάντα· τελείαν γὰρ καὶ καθόλου κρίσιν περί τινος ἔχειν ἀδύνατον εἰ μὴ διὰ τῆς μέχρι τῶν πρώτων αἰτίων ἀναλύσεως· ὅθεν καὶ ἡ σοφία μία μόνον ἐστὶν ὡς περὶ ἓν οὖσα γένος, τὸ εἰρημένον, ὃ πάντων ἔσχατον.

3. Τρίτον, ὅτι καὶ ἡ τέχνη ἀρετή ἐστι νοερά, ἀλλ' οὐ ταῖς θεωρητικαῖς συνηρίθμηται. Ἔστι δὲ ἡ τέχνη λόγος ὀρθὸς τῶν ποιητέων. Καὶ ὅτι μὲν τῶν πρακτέων ἐστίν, οὐκ ἔστι θεωρητική· καθότι δὲ οὐθ' ἡ τέχνη, οὐθ' αἱ θεωρητικαὶ ποιοῦσι τὸ ἔργον ἀγαθὸν ὅσον πρὸς τὴν χρῆσιν, ὃ ἐστιν ἴδιον τῆς τελειούσης τὴν ὄρεξιν ἀρετῆς, ἀλλὰ μόνον ὅσον πρὸς τὴν δύναμιν τοῦ καλῶς ἐνεργεῖν κοινωνεῖ ταῖς θεωρητικαῖς· οὔτε γὰρ ὁ τεχνίτης, | οὐθ' ὁ ἐπιστήμων, ὁ γεωμέτρης τυχόν, πῶς ἔχει κατὰ τὸ ὀρεκτικὸν f. 120v ζητεῖται ἢ διαφέρει, οἷον πότερον χαίρει ἢ ὀργίζεται· ἀλλ' εἰ ὁ γεωμέτρης ἀληθῆ δείκνυσι, καὶ εἰ ὁ τεχνίτης ἀνενδεὲς ποιεῖ τὸ ἔργον.

4. Τέταρτον, ὅτι ἡ φρόνησις ἀρετὴ ἄλλη παρὰ τὴν τέχνην, ὡς ἐν ἕκτῳ τῶν ἠθικῶν ἀντιδιῄρηται. Εἰ δὲ καὶ ἡ τέχνη ὀρθός ἐστι λόγος τινῶν ἔργων, τὰ δὲ διάφορα γένη τῶν ἔργων ποικίλει μέν, ἀλλ' οὐκ ἀναιρεῖ τὸν λόγον τῆς τέχνης, ἀλλὰ διότι ταῦτα πάντα ἔξωθέν εἰσι τοῦ ἀνθρώπου, οὐ γίνεται ἐν τούτοις διάφορος ὁ τῆς ἀρετῆς λόγος· ἀλλὰ διὰ τὸ τὴν φρόνησιν εἶναι ὀρθὸν λόγον τῶν ἀνθρωπίνων ἐνεργειῶν, διάφορος ὁ τῆς ἀρετῆς γίνεται λόγος. Καὶ βουλὴ μέν ἐστι κἂν ταῖς ἄλλαις τέχναις περὶ τῶν ἑκάστῃ εἰς τὸ ἴδιον τέλος συντεινόντων, ἀλλ' ἡ φρόνησις βουλευτική ἐστι τῶν εἰς ὅλην τὴν τοῦ ἀνθρώπου συντεινόντων ζωήν· διὸ ἐκεῖνοι μὲν φρόνιμοι κυβερνῆται ἢ στρατηγοὶ λέγονται, οὗτοι δὲ ἁπλῶς φρόνιμοι.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

5. Πέμπτον, ὅτι ἀρετή ἐστιν ἀναγκαιοτάτη πρὸς τὸν ἄνθρωπον ἡ φρόνησις. Τὸ μὲν γὰρ εὖ ζῆν ἐν τῷ καλῷ ἐνεργεῖν συνίσταται· πρὸς δὲ τὸ καλῶς ἐνεργεῖν οὐ τὸ τί ποιεῖ μόνον ζητεῖται, ἀλλὰ καὶ τὸ πῶς, εἰ καθ' αἵρεσιν ὀρθὴν δηλαδή, ἀλλὰ μὴ ὁρμὴν ἢ πάθος· τὸ δὲ ὀρθῶς αἱρεῖσθαι καὶ βουλεύεσθαι περὶ τοῦ πρὸς τὸ τέλος λόγου εἰσὶν ἐνέργειαι, καὶ ἀρετή τίς ἐστι περὶ αὐτὰς ἡ φρόνησις, τοῦ λόγου τελειωτικὴ πρὸς τὸ καλῶς αἱρεῖσθαι καὶ διατίθεσθαι. Ἡ δὲ τέχνη ἀναγκαία μέν ἐστι πρὸς τὸν ἀνθρώπινον βίον καὶ ὠφέλιμος, ἀλλ' οὐ ποιεῖ τὸν ἄνθρωπον εὖ ζῆν, ὡς ἡ φρόνησις· τὸ γὰρ τῆς τέχνης ἀγαθὸν ἐν τῷ τεχνητῷ ἐστιν διὰ τὸ τὴν τέχνην ὀρθὸν εἶναι λόγον τῶν ποιητῶν, καθόσον ἡ ποίησις, εἰς τὴν ἔξω μεταβαίνουσα ὕλην, τελείωσίς ἐστι τοῦ ποιουμένου, οὐ τοῦ ποιοῦντος. Τὸ δὲ τῆς φρονήσεως ἀγαθὸν ἐν τῷ ἐνεργοῦντι, καὶ αὐτοῦ ἐστι τελείωσις τὸ ἐνεργεῖν· διὸ καὶ πρὸς τὴν τέχνην οὐ ζητεῖται τὸ καλῶς ποιεῖν, ἀλλὰ μόνον τὸ καλὸν ἔργον ποιεῖν. |
f. 121 Ἐζητεῖτο δ' ἂν μᾶλλον αὐτοῦ τὸ τεχνητὸν καλῶς ἐνεργεῖν, οἷον τὴν μάχαιραν τέμνειν καλῶς, ἢ τὸν πρίονα πρίζειν, εἰ κυρίως τούτων ἦν τὸ ἐνεργεῖν ἀλλὰ μὴ τὸ ἐνεργεῖσθαι· οὐ γὰρ ἄρχουσι τῶν οἰκείων ἐνεργειῶν· ὥστε ἡ φρόνησις ἀναγκαία τῷ ἀνθρώπῳ πρὸς τὸ εὖ ζῆν, ἀλλ' οὐ μόνον πρὸς τὸ γενέσθαι ἀγαθόν.

6. Ἕκτον, ὅτι τῇ φρονήσει, κατὰ τὸν Ἀριστοτέλην ἐν ἑβδόμῳ τῶν ἠθικῶν, συνεζευγμέναι εἰσὶν εὐβουλία καὶ σύνεσις καὶ γνώμη· τρεῖς γάρ εἰσιν αἱ τοῦ λόγου τοῦ ἀνθρωπίνου ἐνέργειαι ἐν τοῖς ὑπ' αὐτοῦ πραττομένοις· βουλεύεσθαι, κρίνειν, προστάττειν. Τάττονται δὲ πρὸς τὸ προστάττειν τὰ ἄλλα ὡς ἀρχοειδέστερον, καὶ ἐπεὶ τὸ προστάττειν ἐστὶ τῆς φρονήσεως, τὰ ἄλλα δύο ἕπονται ὡς συνεζευγμένα τῇ φρονήσει· περὶ ἃ ἥ τε εὐβουλία, ᾗ καλῶς βουλευόμεθα, καὶ αἷς κρίνομεν, σύνεσίς τε καὶ γνώμη· σύνεσις μὲν κριτικὴ τῶν κατὰ τοὺς κοινοὺς γινομένων κανόνας, γνώμη δὲ τῶν παρὰ τοὺς κοινούς, μείζονι διοράσει, κατά τινας ὑψηλοτέρας ἀρχάς.

## LVIII. — Περὶ τῆς διακρίσεως τῶν ἠθικῶν καὶ τῶν νοερῶν ἀρετῶν.

1-2. Περὶ ὃ πρῶτον δείκνυται, ὅτι αἱ ἠθικαὶ ἀρεταὶ ἄλλαι εἰσὶ παρὰ τὰς νοεράς. Ὡς γὰρ φησὶν ὁ Φιλόσοφος ἐν πρώτῳ τῶν ἠθικῶν, περὶ τῶν ἠθῶν λέγοντες οὐ φαμέν, ὅτι σοφὸς ἢ νοῶν, ἀλλ' ὅτι πρᾶος ἢ σώφρων· καὶ ἔστιν ἠθικὴ ἀπὸ τοῦ ἤθους, καθὸ σημαίνει φυσικήν τινα ῥοπήν, ἢ ὡς φυσικήν, πρὸς τὸ ποιεῖν τι· τὸ γὰρ ἔθος τρόπον τινὰ εἰς φύσιν μεταβαίνει καὶ ποιεῖ ῥοπὴν ὁμοίαν τῇ φυσικῇ. Φανερὸν δέ, ὅτι ἡ πρὸς τὴν ἐνέργειαν ῥοπὴ τῇ ὀρεκτικῇ δυνάμει κυρίως συμβαίνει, ἧς ἐστι τὰς δυνάμεις πάσας κινεῖν πρὸς τὸ ἐνεργεῖν, καὶ διὰ τοῦτο ἠθικὴ λέγεται ἀρετὴ ἡ ἐν τῇ ὀρεκτικῇ μόνον δυνάμει.

Ε.Υ.Δ.Π.Σ.Κ.Τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

3. Δεύτερον, ὅτι ἱκανῶς διῄρηται ἡ ἀνθρωπίνη ἀρετὴ εἴς τε τὴν ἠθικὴν καὶ τὴν νοεράν, διότι καὶ ἡ ἀρχὴ τῶν ἀνθρωπίνων πράξεων, ἣν δεῖ τελειοῦσθαι τῇ ἀρετῇ, διπλῆ· ἢ γὰρ ὁ θεωρητικὸς νοῦς ἐστιν, ἢ ὁ πρακτικός, ἢ ἡ ὄρεξις.

4. Τρίτον, ὅτι ἀδύνατον εἶναι τὰς ἠθικὰς ἀρετὰς ἄνευ τῶν νοερῶν, f. 121ᵛ οὔ φημι δὲ πασῶν, ἀλλ' ἄνευ νοῦ καὶ φρονήσεως, διότι ἡ ἠθικὴ ἀρετὴ ἕξις ἐστὶν ποιοῦσα αἵρεσιν ἀγαθήν· πρὸς δὲ τοῦτο ζητεῖται ὁ προσήκων τοῦ τέλους σκοπὸς καὶ τὸ ὀρθῶς λαμβάνειν τὰ πρὸς τὸ τέλος· τοῦτο ἀδύνατον εἶναι ἄνευ φρονήσεως καὶ τῶν συνεζευγμένων αὐτῇ ἀρετῶν. Ἐπεὶ δὲ διὰ τοῦ νοῦ γινώσκονται αἱ φύσει γνώριμοι τῶν ἀρχῶν καὶ ἐν τοῖς θεωρητικοῖς καὶ ἐν τοῖς πρακτικοῖς, ἐν ἑκατέροις δεῖ προϋποτίθεσθαι τὸν νοῦν τῶν ἀρχῶν ἐν οἷς τε ὁ ὀρθὸς λόγος ἐνεργεῖ τῶν θεωρητικῶν καὶ ἐν οἷς ὁ ὀρθὸς λόγος τῶν ἐνεργουμένων.

5. Τέταρτον, ὅτι οὐδὲ ἡ φρόνησις δύναται εἶναι ἄνευ τῆς ἠθικῆς ἀρετῆς. Τὸ γὰρ θέλειν ποιεῖν τὸ κακὸν ἀντίκειται τῇ ἠθικῇ ἀρετῇ· οὐκ ἀντίκειται δὲ τινι ὅπερ ἄνευ ἠθικῆς ἀρετῆς δύναται εἶναι· ἀντίκειται δὲ τῇ φρονήσει τὸ ἑκόντα ἁμαρτάνειν, ὡς ἐν ἕκτῳ τῶν ἠθικῶν λέγεται. Ἡ φρόνησις ἄρα οὐ δύναται εἶναι ἄνευ ἠθικῆς ἀρετῆς.

## LIX. — Περὶ ἀρετῆς ἐν τῇ πρὸς τὸ πάθος παραθέσει.

1. Περὶ ὃ πρῶτον δείκνυται, ὅτι ἡ ἠθικὴ ἀρετὴ οὐκ ἔστι πάθος· ἐν γὰρ δευτέρῳ τῶν ἠθικῶν λέγεται, ὅτι τὰ πάθη οὔτ' ἀρεταί εἰσιν, οὔτε κακίαι.

2-3. Δεύτερον, ὅτι δύναται εἶναι μετὰ πάθους. Ὁ γὰρ ἡμέτερος Ἰησοῦς τέλειος ἦν κατὰ τὴν ἀρετήν· ἐν αὐτῷ δὲ γέγονε λύπη, ὥς φησιν αὐτὸς ἐν εἰκοστῷ ἕκτῳ τοῦ κατὰ Ματθαῖον· „Περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου".

4. Τρίτον, ὅτι τις ἀρετὴ οὐκ ἔστι περὶ πάθη, οἷον ἡ δικαιοσύνη· λέγω δέ, ὅτι ὡς περὶ ἰδίαν ὕλην· ὡς δὲ περί τι ἑπόμενον, πᾶσα· πᾶς γὰρ σπουδαῖος ἥδεται ἐπὶ τῇ τῆς ἀρετῆς ἐνεργείᾳ καὶ λυπεῖται ἐπὶ τῷ ἐναντίῳ.

## LX. — Περὶ τῆς πρὸς ἀλλήλας διακρίσεως τῶν ἠθικῶν ἀρετῶν.

1. Περὶ ὃ δείκνυται πρῶτον, ὅτι πλείους αἱ ἠθικαὶ ἀρεταί· πλείους γὰρ αἱ δυνάμεις, αἵ εἰσιν ὑποκείμενα τῶν ἠθικῶν ἀρετῶν.

2. Δεύτερον, ὅτι αἱ ἠθικαὶ ἀρεταὶ διακρίνονται τῷ τὰς μὲν αὐτῶν εἶναι περὶ ἐνεργείας, τὰς δὲ περὶ πάθη· ἀρκεῖ τὸ τοῦ Φιλοσόφου ἀξίωμα λέγοντος.

---

25 Matth. 26, 38

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

f. 122 3. Τρίτον, ὅτι πλείους ἀρεταί εἰσιν ἠθικαὶ περὶ ἐνεργείας. Εἰ γὰρ καὶ κοινωνοῦσι πᾶσαι αἱ τοιαῦται ἔν τινι καθόλου λόγῳ, τῷ τῆς δικαιοσύνης, ὅς ἐστιν ἐν τῇ πρὸς ἕτερον ὀφειλῇ, ἀλλὰ διακρίνονται κατὰ τὴν τῶν λόγων διαφοράν. Ἐπειδὴ γὰρ ἐν ταῖς τοιαύταις ἐνεργείαις ὁ τῆς τάξεως λόγος οὐκ ἐν τῇ πρὸς τὴν διάθεσιν τοῦ ἀνθρώπου ἐνεργείᾳ, ἀλλὰ κατὰ τὸ προσῆκον αὐτῷ τῷ πράγματι, ἐν ἑαυτῷ λαμβάνεται. Καθὸ δὲ προσῆκον, ὁ λόγος τοῦ ὀφειλομένου λαμβάνεται τῷ τὸ ὀφειλόμενον ἐν πᾶσι μὴ τοῦ αὐτοῦ εἶναι λόγου, καὶ διάφοροι συνίστανται ἀρεταί, εἰ καὶ τρόπον τινὰ δικαιοσύνης πᾶσαι, ὡς εἴρηται, λόγον ἔχουσιν· ἄλλως γὰρ ὀφείλεται τῷ ἴσῳ, ἄλλως τῷ μείζονι ἢ τῷ ἐλάττονι, ἄλλως ἐκ συμβάσεως, ἢ ὑποσχέσεως, ἢ δι' εὐεργεσίαν· καὶ ἔστιν ὁσιότης μέν, δι' ἣν ἀποδίδοται τῷ Θεῷ τὸ ὀφειλόμενον, δικαιοσύνη δέ, δι' ἣν τοῖς γονεῦσιν, ἢ τῇ πατρίδι, ἢ μᾶλλον εὐσέβεια· ἀμοιβή, δι' ἣν τοῖς εὐεργέταις.

4. Τέταρτον, ὅτι καὶ περὶ τὰ πάθη διάφοροί εἰσιν ἀρεταί. Εἰ γὰρ καὶ μία ἐστὶ τῶν παθῶν ἀρχὴ ὁ ἔρως, καὶ πάντα εἰς ἓν τελευτῶσι τέλος, τὴν ἡδονὴν καὶ λύπην, ἀλλ' οὐκ ἐν μιᾷ ἀρχῇ ἰδίᾳ ἢ τελείᾳ κοινωνοῦσιν, ὡσαύτως δὲ καὶ τέλει· καὶ διὰ τοῦτο πλείους εἰσὶν εἰδικῶς· ἀνδρία μὲν περὶ φόβους καὶ θάρρη· περί ἐπιθυμίας δὲ σωφροσύνη· ἡ δὲ πρᾳότης περὶ τὰς ὀργάς.

## LXI. — Περὶ τῶν γενικῶν ἀρετῶν.

1. Περὶ ὃ πρῶτον δείκνυται, ὅτι αἱ ἠθικαὶ ἀρεταὶ γενικαὶ λέγονται, μὴ προσισταμένου τοῦ ἄλλην ἀρετὴν ἄλλης ἀρχικωτέραν εἶναι κατὰ τὸν λόγον. Ὅταν γὰρ ἡ διαίρεσις ἀναλόγου τινὸς ᾖ, λέγεται κατὰ πλειόνων, κατὰ τὸ πρότερον καὶ τὸ ὕστερον, καὶ ἡ οὐσία ἀρχικώτερον λέγεται ὂν ἢ τὸ συμβεβηκός· τοιαύτη δέ ἐστιν ἡ τῆς ἀρετῆς διαίρεσις εἰς τὰ διάφορα γένη τῶν ἀρετῶν, ἐπεὶ τὸ τοῦ λόγου ἀγαθὸν οὐ κατὰ τὴν αὐτὴν πρᾶξιν ἐν πᾶσιν εὑρίσκεται.

2. Δεύτερον, ὅτι τέσσαρές εἰσιν αἱ γενικαὶ ἀρεταί· πρῶτον μὲν κατὰ τὴν εἰδικὴν ἀρχὴν θεωροῦσιν, ἥ ἐστι τὸ κατὰ τὸν λόγον ἀγαθόν. Τοῦτο
f. 122v γὰρ ἢ ἐν αὐτῇ τῇ τοῦ λόγου θεωρίᾳ | συνίσταται, καὶ οὕτως ἐστὶν ἡ φρόνησις· ἢ ἄλλῃ τινὶ τῆς τοῦ λόγου τάξεως ἐφαρμοζομένης· καὶ εἰ μὲν περὶ ἐνεργείας ἐστίν, ἡ δικαιοσύνη· εἰ δὲ περὶ πάθη, διχῶς αὖθις· ἢ ἀναχαιτιζομένου τοῦ πάθους, ὁπόταν πρός τι ἐναντίον τῷ λόγῳ συνωθῇ, καὶ ἔστιν ἡ σωφροσύνη· ἢ βεβαιουμένου τοῦ ἀνθρώπου ἐν τῷ κατὰ λόγον, ὥστε μὴ ἀποχωρῆσαι αὐτοῦ διὰ τὸ τὸ πάθος ἀφέλκειν πειρᾶσθαι αὐτοῦ, καὶ οὕτως ἐστὶν ἡ ἀνδρία. Δεύτερον, καὶ κατὰ τὰ ὑποκείμενα· ἢ γὰρ τὸ λογικόν ἐστιν ὅπερ ἡ φρόνησις τελειοῖ, ἢ τὸ κατὰ μετοχὴν λογικόν, ὃ διαιρεῖται εἰς τρία· εἰς τὴν θέλησιν, ἥ ἐστιν ὑποκείμενον τῆς δικαιοσύνης· τὸ ἐπιθυμητικόν, περὶ ὃ ἡ σωφροσύνη· καὶ τὸ θυμικόν, ἐν ᾧ συνίσταται ἡ ἀνδρία.

ΙΩΑΝΝΙΝΑ 2006

3. Τρίτον, ὅτι εὐλόγως αὗται καὶ μόναι εἰσὶν ἀρχικαί· ἕνα μὲν τρόπον, κατὰ τοὺς κοινοὺς λόγους τοὺς εἰδικούς, ὥστε πᾶσαν ἀρετὴν ποιοῦσαν ἀγαθὸν ἐν τῇ θεωρίᾳ τοῦ λόγου λέγεσθαι φρόνησιν, πᾶσαν δὲ ἀρετὴν ποιοῦσαν ἀγαθὸν τοῦ λόγου, ἤγουν τὸ ὀφειλόμενον, ἐν ταῖς ἐνεργείαις ταῖς πρὸς ἕτερον δικαιοσύνην καλεῖσθαι, καὶ πᾶσαν ἀρετὴν τὰ πάθη ἐπέχουσαν λέγεσθαι σωφροσύνην, καὶ πᾶσαν ἀρετὴν ῥωννύουσαν τὴν ψυχὴν κατὰ τῶν παθῶν λέγεσθαι ἀνδρίαν. Καὶ τοῦτον τὸν τρόπον αἱ ἄλλαι ἀρεταὶ ὑπὸ ταύτας περιέχονται, ἐπεὶ τὸ τοῦ λόγου ἀγαθὸν καθόλου τετρασὶ τρόποις ἐν πάσαις ταῖς ὕλαις εὑρίσκεται. Ἕτερον δὲ τρόπον ἀρχικαὶ λέγονται διὰ τὸ ἀρχοειδὲς τῆς ὕλης, οἷον τὸ φρόνησιν λέγεσθαι τὴν ἐπιτακτικὴν δικαιοσύνην, τὴν περὶ τὰς ὀφειλομένας ἐνεργείας ἐν τοῖς ἴσοις· σωφροσύνην, τὴν χαλινοῦσαν τὰς ἐπιθυμίας τῶν ἡδονῶν τῆς ἁφῆς· ἀνδρίαν, τὴν ῥωννύουσαν κατὰ τῶν τοῦ θανάτου κινδύνων.

4. Τέταρτον, ὅτι κατὰ μετάδοσιν μεταβαίνουσιν αἱ ἀρεταὶ αὗται εἰς ἀλλήλας, εἰ καὶ εἰδικῶς διακέκρινται. Αἱ μὲν γὰρ τρεῖς λέγονται φρόνησις, καθόσον τὸ τῆς φρονήσεως ἀγαθὸν αὐταῖς διαδίδοται ὑπ᾽ αὐτῆς ἀπευθυνομέναις, | f. 123 ἑκάστη δὲ τῶν ἄλλων ὅπερ ἡ λοιπὴ λέγεται, κατὰ τοῦτο ὅτι ὁ τὸ εὐχερέστερον δυνάμενος δύναται καὶ τὸ ῥᾷον, ὥσπερ ὁ ἀνδρεῖος σώφρων λέγεται, καθόσον δηλονότι ὁ δι᾽ ἀνδρίαν ἔχων τὴν διάνοιαν ἑδραίαν πρὸς τοὺς τοῦ θανάτου κινδύνους, ὅπερ ἐστὶ δυσχερέστατον, ἐπιτηδειότερός ἐστιν ἐπέχειν ἑαυτὸν πρὸς τὰς ὁρμὰς τῶν παθῶν.

5. Πέμπτον, ὅτι αἱ τέσσαρες αὗται ἀρεταὶ τετραχῶς εἰσιν καὶ λέγονται, οἷον παραδειγματικαί, καθαρτικαί, τῆς κεκαθαρμένης διανοίας, καὶ πολιτικαί. Φησὶ γὰρ ὁ Μακρόβιος οὕτω διελέσθαι Πλωτῖνον, τὸν ἐν τοῖς ἀρχηγοῖς τῆς φιλοσοφίας μετὰ Πλάτωνος πρῶτον, ἤ, ὡς ἐν ἄλλοις γέγραπται, μετὰ Πλάτωνα· καὶ ὁ λόγος οὗτος, ὅτι κατὰ τὸν Αὐγουστῖνον ἀνάγκη τὴν ψυχὴν ἕπεσθαί τινι ὥστ᾽ ἀρετὴν αὐτῇ ἐγγενέσθαι· τοῦτο δέ ἐστιν ὁ Θεός, ᾧ ἑπόμενοι ζῶμεν καλῶς. Ἀνάγκη τοίνυν τὸ παράδειγμα τῆς ἀνθρωπίνης ἀρετῆς ἐν τῷ Θεῷ προϋφίστασθαι, ὥσπερ ἐν αὐτῷ πάντων τῶν ὄντων οἱ λόγοι προϋφεστᾶσιν. Οὕτω τοίνυν τὴν ἀρετὴν δυνατὸν θεωρεῖσθαι ἢ καθὸ παραδειγματικῶς ἐστιν ἐν τῷ Θεῷ, καὶ οὕτω λέγονται αἱ παραδειγματικαὶ ἀρεταί, οὕτως ὥστ᾽ αὐτὸν μὲν τὸν θεῖον νοῦν φρόνησιν λέγεσθαι, σωφροσύνην δὲ τὴν τοῦ θείου σκοποῦ πρὸς ἑαυτὸν ἐπιστροφήν, ὥσπερ καὶ ἐν ἡμῖν σωφροσύνη λέγεται, ὅταν τὸ ἐπιθυμητικὸν ἀφομοιῶται τῷ λόγῳ· ἀνδρίαν δὲ Θεοῦ, τὸ ἀμετάβλητον τούτου· δικαιοσύνην δὲ τὴν ἐν τοῖς αὐτοῦ ἔργοις τοῦ ἀϊδίου νόμου φυλακήν, ὥσπερ ὁ Πλωτῖνος φησίν. Καὶ ἐπεὶ ὁ ἄνθρωπος κατὰ τὴν αὐτοῦ φύσιν πολιτικὸν λέγεται ζῷον, αἱ ἀρεταὶ αὗται, καθὸ ἐν τῷ ἀνθρώπῳ εἰσὶν κατὰ τὴν ἰδιότητα τῆς αὐτοῦ φύσεως, πολιτικαὶ καλοῦνται, καθὸ δηλονότι ὁ ἄνθρωπος διὰ τῶν τοιούτων ἀρετῶν ὀρθῶς ἔχει περὶ τὸ πράττειν τὰ ἀνθρώπινα πράγματα ὃν τρόπον



Ε.Υ.Δ τη Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

πρότερον περὶ τῶνδε τῶν ἀρετῶν διειλέγμεθα. Ἐπεὶ δὲ τοῦ ἀνθρώπου f. 123v ἐστὶ καὶ πρὸς τὰ θεῖα ἑαυτὸν ἀνάγειν κατὰ τὸ δυνατόν, | ὡς ὅ τε Φιλόσοφος φησὶν ἐν δεκάτῳ τῶν ἠθικῶν καὶ ἐν τῇ ἱερᾷ Γραφῇ πολλαχοῦ παραδίδοται, οἷον ἐκεῖνο τό· „Γίνεσθε τέλειοι ὥσπερ καὶ ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος τέλειός ἐστιν“, ἀνάγκη τιθέναι τινὰς ἀρετὰς μέσας τε τῶν ἀνθρωπίνων, τῶν πολιτικῶν, καὶ τῶν παραδειγματικῶν, τῶν θείων, αἳ δὴ ἀρεταὶ διακρίνονται αὖθις κατὰ τὴν διαφορὰν τῆς κινήσεως καὶ τοῦ τέλους, οὕτω δηλονότι ὥστε τινὰς μὲν εἶναι τῶν ὑπερβεβηκότων καὶ εἰς τὴν θείαν ὁμοιότητα κατὰ τὸ δυνατὸν ἀφικνουμένων, καὶ αὗται καλοῦνται καθαρτικαί, οὕτω δηλαδὴ ὥστε τὴν μὲν φρόνησιν πάντων τῶν κοσμικῶν ἕνεκα τῆς τῶν θείων θεωρίας καταφρονεῖν, εἰς μόνα τε τὰ θεῖα ἀπευθύνειν πάντα τῆς ψυχῆς λογισμόν· τὴν σωφροσύνην δὲ τοσοῦτον συγχωρεῖν πάσχειν τὴν φύσιν, ὅσον ἡ χρεία τοῦ σώματος ἀπαιτεῖ· διὰ δὲ τὴν ἀνδρίαν μὴ θορυβεῖσθαι τὴν ψυχὴν ἀποχωροῦσαν τοῦ σώματος καὶ προσχωροῦσαν τοῖς αἰωνίοις· τὴν δὲ δικαιοσύνην ὅλην τὴν ψυχὴν συντίθεσθαι τῇ προαιρέσει τῆς ὁδοῦ ταύτης. Εἰσὶ δέ τινες ἀρεταὶ τῶν τυγχανόντων τῆς θείας ὁμοιότητος, αἳ καλοῦνται κεκαθαρμένης διανοίας ἀρεταί, οὕτω δηλονότι ὥστε τὴν μὲν φρόνησιν μόνον τὰ θεῖα λογίζεσθαι, τὴν δὲ σωφροσύνην ἀγνοεῖν τὰς γηΐνας ἐπιθυμίας, τὴν δὲ ἀνδρίαν ἀγνοεῖν τὰ πάθη, καὶ τὴν δικαιοσύνην τῷ θείῳ νῷ αἰωνίοις σπουδαῖς συνῆφθαι, οὕτω δηλονότι ὁμοιουμένην· αἳ δὴ ἀρεταὶ φαμὲν εἶναι τῶν τελειοτάτων ἐν τῇ παρούσῃ ζωῇ.

## LXII. — Περὶ τῶν θεολογικῶν ἀρετῶν.

1. Περὶ ὃ πρῶτον δείκνυται, ὅτι εἰσί τινες θεολογικαὶ ἀρεταί, δι᾿ ὧν ταττόμεθα πρὸς τὴν ὑπερφυᾶ μακαριότητα κατά τινα θειότητος μετοχήν, ὡς ἐν τῷ δευτέρῳ τῆς δευτέρας Πέτρου λέγεται, ὅτι· „Διὰ τοῦ Χριστοῦ γεγόναμεν κοινωνοὶ θείας φύσεως“, ὥσπερ διὰ τῶν προειρημένων φυσικῶν ἀρετῶν εἰς τὴν τῇ ἀνθρωπίνῃ φύσει συστοιχὸν μακαριότητα· καλοῦνται δὲ οὕτως τοῦτο μὲν ὡς ἔχουσαι τὸν Θεὸν ἀντικείμενον, καθόσον διὰ τούτων ὀρθῶς ταττόμεθα εἰς τὸν Θεόν· τοῦτο δὲ ὅτι καὶ παρὰ μόνου f. 124 τοῦ Θεοῦ αὗται ἡμῖν ἐγγίνονται, καὶ ὅτι μόνῃ τῇ θείᾳ | ἀποκαλύψει ἐν τῇ ἱερᾷ Γραφῇ αἱ τοιαῦται ἀρεταὶ ἡμῖν παραδίδονται.

2. Δεύτερον, ὅτι αὗται διακεκριμέναι εἰσὶ τῶν νοερῶν τε καὶ ἠθικῶν. Αἱ γὰρ ἕξεις διακρίνονται κατὰ τὴν εἰδικὴν διαφορὰν τῶν ἀντικειμένων· ἀντικείμενον δὲ τῶν θεολογικῶν ἀρετῶν αὐτός ἐστιν ὁ Θεός, ὅς ἐστιν ἔσχατον τέλος τῶν ὄντων, καθὸ ὑπερβαίνει τὴν γνῶσιν τοῦ ἡμετέρου λόγου· ἀντικείμενον δὲ τῶν νοερῶν τε καὶ ἠθικῶν ἔστι τι τῷ ἀνθρωπίνῳ λόγῳ περιλαμβάνεσθαι δυνατόν· οὐκοῦν εἴδει διακρίνονται.

---

4 Matth. 5, 48 26 *δευτέρῳ* sic A II Petr. 1, 4

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006